## **Κυριακὴ 19 Μαΐου. Κυριακὴ τῶν ἁγίων Μυροφόρων καὶ Ἰωσὴφ τοῦ Δικαίου. Μνήμη τοῦ ἁγίου Ἱερομάρτυρος Πατρικίου, Ἐπισκόπου Προύσης, καὶ τῶν σὺν αὐτῷ Ἀκακίου, Μενάνδρου καὶ Πολυαίνου.**

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τρίτῃ ἀπὸ τοῦ Πάσχα, τὴν τῶν ἁγίων γυναικῶν Μυροφόρων ἑορτὴν ἑορτάζομεν· ἔτι δὲ μνείαν ποιούμεθα καὶ τοῦ ἐξ Ἀριμαθαίας Ἰωσήφ, ὃς ἦν μαθητῆς κεκρυμμένος· πρὸς δὲ καὶ τοῦ νυκτερινοῦ μαθητοῦ Νικοδήμου.

### Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν

### Ἐν τῷ μικρῷ ἑσπερινῷ

Μετὰ τό· *Χριστὸς ἀνέστη*…ἐκ γ' καὶ τὸν προοιμιακὸν ψαλμόν, εἰς τό· *Κύριε ἐκέκραξα*…ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν ἀναστάσιμα τῆς Ὀκτωήχου στιχηρὰ γ'· *Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα*…*Χριστὸς ὁ Σωτὴρ ἡμῶν*…*Σὺν Ἀρχαγγέλοις ὑμνήσωμεν*…καὶ ἐν ἀνατολικόν· *Σὲ τὸν σταυρωθέντα καὶ ταφέντα*…Δόξα, τὸ ἰδιόμελον τῶν Μυροφόρων· *Τί τὰ μύρα τοῖς δάκρυσι Μαθήτριαι*…Καὶ νῦν, τὸ α' δογματικὸν θετοκίον τοῦ ἤχου· *Ὢ τοῦ μεγίστου μυστηρίου!*...Τό· *Φῶς ἱλαρόν*…Τὸ προκείμενον· *Ὁ Κύριος ἐβασίλευσεν*…μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον στιχηρόν· *Ἡ Ἀνάστασίς σου, Χριστέ*…εἶτα τὰ γ' προσόμοια τῆς Θεοτόκου· *Πάντων θλιβομένων ἡ χαρά*…*Πᾶσαν ἀνομίαν ἀφειδῶς*…*Ἄλλο καταφύγιον Ἁγνή*…Δόξα…καὶ νῦν τὸ ἰδιόμελον τῶν Μυροφόρων· *Αἱ Μυροφόριαι ὄρθριαι γενόμεναι*…Τό· *Νῦν ἀπολύεις*…καὶ τὰ Ἀπολυτίκια· *Ὅτε κατῆλθες*…Δόξα· *Ὁ εὐσχήμων Ἰωσήφ*…Καὶ νῦν· *Ταῖς μυροφόροις γυναιξὶ*…Ἀπόλυσις.

### Ἐν τῷ ἀποδείπνῳ

Ἐν τῷ μικρῷ ἀποδείπνῳ, ὁ κανὼν τῆς Θεοτόκου κατ' ἦχον καὶ ἡμέραν· *Μορφωθεὶς ἐκ σου τὸ καθ' ἡμᾶς*…(ἐκ τοῦ Θεοτοκαρίου τοῦ ἁγίου

Νικοδήμου τοῦ ἁγιορείτου). Εἰς τὸ τρισάγιον, τὸ κοντάκιον τῶν Μυροφόρων· *Τὸ χαῖρε τοῖς μυροφόροις φθεγξάμενος…*Ἐν τέλει δὲ οἱ οἶκοι τῆς Θεοτόκου.

## Ἐν τῷ μεγάλῳ ἑσπερινῷ

Τὸ· *Χριστὸς ἀνέστη…*ἐκ γ' καὶ ὁ προοιμιακὸς ψαλμὸς· εἶτα τὸ α' κάθισμα τοῦ Ψαλτηρίου, ἤτοι τὸ· *Μακάριος ἀνήρ…*Εἰς δὲ τὸ· *Κύριε ἐκέκραξα..*ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν γ' στιχηρὰ ἀναστάσιμα τοῦ β' ἤχου· *Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα…Χριστὸς ὁ Σωτὴρ ἡμῶν… Σὺν Ἀρχαγγέλοις ὑμνήσωμεν…*δ' ἀνατολικὰ στιχηρὰ· *Σὲ τὸν σταυρωθέντα καὶ ταφέντα…Ἐν τῷ Σταυρῷ σου κατήργησας…Ἠνοίγησάν σοὶ Κύριε…Τὸν σωτήριον ὕμνον ᾄδοντες…*καὶ τὰ γ' στιχηρὰ ἰδιόμελα τῶν Μυροφόρων· *Αἱ Μυροφόροι γυναῖκες…Τὶ τὰ μύρα τοῖς δάκρυσι…Αἱ Μυροφόροι ὄρθριαι γενόμεναι…*Δόξα…τὸ ἰδιόμελον τῶν Μυροφόρων· *Αἱ Μυροφόροι γυναῖκες…*Καὶ νῦν…τὸ α' θεοτοκίον τοῦ ἤχου· *Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου…*Εἴσοδος. Τὸ· *Φῶς ἱλαρόν…*Τὸ Προκείμενον· *Ὁ Κύριος ἐβασίλευσεν…*μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὴν λιτήν, τὸ στιχηρὸ τοῦ ἁγίου τῆς μονῆς ἢ τοῦ ἁγίου τοῦ ναοῦ, εἶτα τὰ γ' ἰδιόμελα τῶν Μυροφόρων· *Μυροφόροι γυναῖκες…Μετὰ φόβου ἦλθον αἱ Γυναῖκες...Ἦλθον ἐπὶ τὸ μνημεῖον…*Δόξα· *Ἠτήσατο Ἰωσὴφ τὸ Σῶμα τοῦ Ἰησοῦ…*Καὶ νῦν, τὸ θεοτοκίον· *Ὁ ποιητὴς καὶ λυτρωτής μου Παναγνέ…*Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον στιχηρὸν· *Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτήρ…*εἶτα τὰ στιχηρὰ τοῦ Πάσχα· *Πάσχα ἱερὸν ἡμῖν σήμερον…Δεῦτε ἀπὸ θέας Γυναῖκες…Αἱ Μυροφόροι γυναῖκες…Πάσχα τὸ τερπνόν…*Δόξα· *Σὲ τὸν ἀναβαλλόμενον τὸ φῶς…*Καὶ νῦν· *Ἀναστάσεως ἡμέρα…*Τό· *Νῦν ἀπολύεις…* Τὸ· *Χριστὸς ἀνέστη…*ἐκ γ', χῦμα. Εἶτα· *Δόξα, καὶ νῦν…Παναγία Τριάς… Πάτερ ἡμῶν…Ὅτι σοῦ ἐστιν…*Ἀπολυτίκιον· *Ὅτε κατῆλθες…Ὁ εὐσχήμων Ἰωσήφ…*Δόξα· *Ταῖς μυροφόροις γυναιξὶ…*Καὶ νῦν· *Θεοτόκε Παρθένε…*Ἡ εὐλόγησις τῶν ἄρτων, καὶ ἀνάγνωσις εἰς τὰς Πράξεις τῶν ἀποστόλων. Εἶτα τὰ λοιπὰ τῆς ἀγρυπνίας.

**Μὴ οὔσης ἀγρυπνίας**, ἐν τῷ μεγάλῳ ἑσπερινῷ λέγομεν ἀπολυτικὰ ὡς ἐν τῷ μικρῷ διετάχθησαν. Τῇ δὲ Κυριακῇ πρωί, **ἐν τῷ μεσονυκτικῷ**, ὁ τριαδικὸς κανὼν τοῦ ἤχου· *Τὴν τριττὴν καὶ μίαν ἀρχικήν*...Τά· *Ἄξιόν ἐστιν*...*Τρισάγιον*...Ἀπολυτίκιον· *Ταῖς μυροφόροις γυναιξὶ*...αἱ δεήσεις καὶ ἡ ἀπόλυσις.

## Ἐν τῷ ὄρθρῳ

Μετὰ τὸν εὐλογητὸν τοῦ ἱερέως, τό· *Χριστὸς ἀνέστη*...ἐκ γ', ἤτοι ἅπαξ ὑπὸ τοῦ ἱερέως καὶ δὶς ὑπὸ τῶν χορῶν. Εἶτα *Δόξα*...*Καὶ νῦν*... *Τρισάγιον*...*Παναγία Τριάς*...*Πάτερ ἡμῶν*...*Ὅτι σοῦ ἐστιν*...καὶ καθεξῆς ὁ ἑξάψαλμος. Εἰς τό· *Θεὸς Κύριος*...τὰ Ἀπολυτίκια· *Ὅτε κατῆλθες*... Δόξα· *Ὁ εὐσχήμων Ἰωσήφ*...*Καὶ νῦν Ταῖς μυροφόροις γυναιξὶ*... Εὐθὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου ὡς ἑξῆς: ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ'*, Δόξα, καὶ νῦν...Καὶ ἀναγινώσκει τὸ Β' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι σὸν τὸ κράτος*...Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Τὸν λίθον τοῦ μνήματος*...Δόξα· *Τὸν κόλπον τὸν ἄχραντον*... Καὶ νῦν τὸ θεοτοκίον· *Πάντα ὑπὲρ ἔννοιαν*...Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ Γ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος*...Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Αἱ Μυροφόροι ὄρθριαι γενόμεναι*...Δόξα· *Τὰ μύρα τῆς ταφῆς σου*...Καὶ νῦν τὸ θεοτοκίον· *Ὑπερδεδοξασμένη ὑπάρχεις*...Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ ΙΖ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ ψάλλονται τὰ *Εὐλογητάρια*. Αἴτησις καὶ ἡ Ὑπακοὴ τοῦ ἤχου· *Μετὰ τὸ πάθος πορευθεῖσαι ἐν τῷ μνήματι*...Εὐθὺς οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὸ προκείμενον αὐτοῦ καὶ ἅπασα ἡ τάξις τοῦ

ἑωθινοῦ δ' Εὐαγγελίου. Εἶτα τὸ· *Ἀνάστασιν Χριστοῦ…*Ὁ ν' ψαλμός. Δόξα· *Ταῖς τῶν Ἀποστόλων…*Καὶ νῦν· *Ταῖς τῆς Θεοτόκου…*Εἰς τὸν στίχον τὸ· *Ἀναστὰς ὁ Ἰησοῦς…*

**Εἶτα οἱ κανόνες·** ὅ του Πάσχα μετὰ τῶν εἱρμῶν εἰς ϛ' τροπάρια, ὁ τῆς Θεοτόκου, ἄνευ εἱρμῶν, εἰς β' τροπάρια καὶ τῶν Μυροφόρων εἰς ϛ' τροπάρια ἄνευ εἱρμῶν. Οὐ λέγομεν δὲ στίχους τῶν ᾠδῶν, ἀλλ' εἰς μὲν τὰ ἀναστάσιμα τροπάρια· *Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε,* εἰς τὰ τῆς Θεοτόκου· *Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς,* καὶ ἐν τῷ κανόνι τῶν Μυροφόρων· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι,* εἰς δὲ τὰ δύο τελευταῖα τὸ· *Δόξα…*καὶ τὸ· *Καὶ νῦν…*Καταβασίαι οἱ εἱρμοὶ τοῦ κανόνος τοῦ Πάσχα· *Ἀναστάσεως ἡμέρα…*Ἀπὸ γ' ᾠδῆς, κάθισμα τῶν Μυροφόρων· *Τὰ μύρα θερμῶς…*Δόξα…Καὶ νῦν…τὸ ἕτερον· *Τῶν Μαθητῶν σου ὁ χορός…*Ἀφ' ἕκτης, κοντάκιον τῶν Μυροφόρων· *Τὸ χαῖρε τοῖς μυροφόροις φθεγξάμενος…*καὶ ὁ οἶκος αὐτῶν· *Ἐπὶ τὸν τάφον σου Σωτήρ…*Συναξάριον τοῦ Μηναίου, εἶτα τοῦ Πεντηκοσταρίου. **Ἡ τιμιωτέρα οὐ στιχολογεῖται,** ἀλλὰ ψάλλεται ἡ θ' ᾠδὴ τοῦ κανόνος τοῦ Πάσχα μετὰ τῶν μεγαλυναρίων αὐτοῦ, τὰ δύο θεοτοκία μετὰ τῶν μεγαλυναρίων· *Μαγδαληνὴ Μαρία…Χαῖρε Παρθένε χαῖρε…*καὶ ἡ θ' ᾠδὴ τοῦ κανόνος τῶν Μυροφόρων μετὰ τοῦ ῥηθέντος στίχου.

**Τὸ· *Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν*…***ἐκ γ'* καὶ τὸ· *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν…*εἶτα τὸ ἐξαποστειλάριον τοῦ Πάσχα· *Σαρκὶ ὑπνώσας ὡς θνητός…* καὶ τῶν Μυροφόρων· *Γυναῖκες ἀκουτίσθητε…*δίς. Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους η' καὶ ψάλλομεν ἀναστάσιμα στιχηρὰ δ'· *Πᾶσα πνοὴ καὶ πᾶσα κτίσις…Εἰπάτωσαν Ἰουδαῖοι…Χαίρετε λαοὶ καὶ ἀγαλλιάσθε… Ἄγγελος μὲν τὸ Χαῖρε…*καὶ τὰ δ' ἀνατολικὰ στιχηρὰ· *Ἔρραναν μύρα μετὰ δακρύων…Αἰνεσάτωσαν ἔθνη καὶ λαοί…Ἐσταυρώθης, ἐτάφης Χριστέ… Ὄντως παράνομοι…*Δόξα τὸ β' ἑωθινὸν· *Μετὰ μύρων προσελθούσαις…* Καὶ νῦν, τὸ Θεοτοκίον· *Ὑπευλογημένη ὑπάρχεις…Δοξολογία μεγάλη,* καὶ μόνον τὸν ἀναστάσιμον τροπάριον· *Σήμερον σωτηρία…*Ἐκτενής, ἀ-

πόλυσις. Εἶτα ψάλλομεν τὸ δ' ἑωθινὸν ἰδιόμελον· *Ὄρθρος ἦν βαθύς…* καὶ ἡ α' ὥρα ἐν τῷ νάρθηκι.

## Ἐν ταῖς ὥραις

Ἀπολυτίκια· *Ὅτε κατῆλθες…Ὁ εὐσχήμων Ἰωσήφ…*Δόξα· *Ταῖς μυροφόροις γυναξί…*Καὶ νῦν, τὸ θεοτοκίον τῶν ὡρῶν. Εἰς τὸ τρισάγιον, τὸ κοντάκιον τῶν Μυροφόρων· *Τὸ χαῖρε τοῖς μυροφόροι φθεγξάμενος…*

## Εἰς τὴν Λειτουργίαν

Τὰ τυπικά. Οἱ μακαρισμοὶ τοῦ β' ἤχου εἰς δ' τροπάρια καὶ ἀπὸ τοῦ κανόνος τῶν Μυροφόρων ἡ ϛ' ᾠδὴ εἰς δ' τροπάρια, ἄνευ εἱρμῶν. Εἰσοδικὸν τὸ· *Δεῦτε προσκυνήσωμεν…ὁ ἀναστὰς ἐκ νεκρῶν…*Ἀπολυτίκια μετὰ τὴν εἴσοδον· *Ὅτε κατῆλθες…Ὁ εὐσχήμων…Ταῖς μυροφόροις γυναιξί…*τοῦ ἁγίου τῆς μονῆς ἢ τοῦ ἁγίου τοῦ ναοῦ…ἡ ὑπακοὴ τοῦ ἤχου· *Μετὰ τὸ πάθος πορευθεῖσαι ἐν τῷ μνήματι…*Δόξα τό, κοντάκιον τῶν Μυροφόρων· *Τὸ χαῖρε ταῖς μυροφόροις…*Καὶ νῦν, τὸ κοντάκιον τοῦ Πάσχα· *Εἰ καὶ ἐν τάφῳ κατῆλθες…*Τρισάγιον. Προκείμενον καὶ Ἀλληλουϊάριον τοῦ ἤχου. Ἀπόστολος τῆς Κυριακῆς τῶν Μυροφόρων· *Πληθυνόντων τῶν μαθητῶν ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν…*(Πραξ. ϛ' 1-7), ὁ ζήτει τῇ Γ' Κυριακῇ ἀπὸ τοῦ Πάσχα. Εὐαγγέλιον, ὁμοίως· *Ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας…*(Μάρκ. ιε' 43-47, ιϛ' 1-8), ὁ ζήτει τῇ Γ' Κυριακῇ ἀπὸ τοῦ Πάσχα. Εἰς τὸ ἐξαιρέτως, τὸ· *Ὁ Ἄγγελος ἐβόα…Φωτίζου, φωτίζου…*Κοινωνικὸν· *Αἰνεῖτε τὸν Κύριον…*Ἀντὶ τοῦ· *Εἴδομεν τὸ Φῶς…* τὸ· *Χριστὸς ἀνέστη…* ἅπαξ. *Εἴη τὸ ὄνομα Κυρίου…*ἐκ γ', Δόξα, καὶ νῦν… οἱ δύο ψαλμοὶ· *Εὐλογήσω τὸν Κύριον…Ὑψώσω σὲ ὁ Θεός μου…*καὶ ἀπόλυσις.

**Σημείωσις:** Ἡ ἀκολουθία τοῦ ἁγίου Ἱερομάρτυρος Πατρικίου, Ἐπισκόπου Προύσης, καὶ τῶν σὺν αὐτῷ Ἀκακίου, Μενάνδρου καὶ Πολυαίνου, θὰ ψάλλει τῇ αὐτῇ Κυριακῇ ἑσπέρας ἐν τοῖς ἀποδείπνοις.